*Πολύμνηστον καὶ Σακάδαν, τοῦ τε Δωρίου καὶ Φρυγίου
καὶ Λυδίου, ἐν ἑκάστῳ τῶν εἰρημένων τόνων στροφὴν
ποιήσαντά φασι τὸν Σακάδαν διδάξαι ᾄδειν τὸν χορὸν Δω-*
B *ριστὶ μὲν τὴν πρώτην, Φρυγιστὶ δὲ τὴν δευτέραν, Λυδι-
στὶ δὲ τὴν τρίτην· καλεῖσθαι δὲ Τριμερῆ τὸν νόμον τοῦ-
τον διὰ τὴν μεταβολήν. ἐν δὲ τῇ ἐν Σικυῶνι ἀναγραφῇ τῇ
περὶ τῶν ποιητῶν* (FGrH 550 F 2) *Κλονᾶς εὑρετὴς ἀνα-
γέγραπται τοῦ Τριμεροῦς νόμου.*

**9.** *Ἡ μὲν οὖν πρώτη κατάστασις τῶν περὶ τὴν μου-
σικὴν ἐν τῇ Σπάρτῃ, Τερπάνδρου καταστήσαντος, γεγένη-
ται· τῆς δὲ δευτέρας Θαλήτας τε ὁ Γορτύνιος καὶ Ξενό-
δαμος ὁ Κυθήριος καὶ Ξενόκριτος ὁ Λοκρὸς καὶ Πολύ-
μνηστος ὁ Κολοφώνιος καὶ Σακάδας ὁ Ἀργεῖος μάλιστα
αἰτίαν ἔχουσιν ἡγεμόνες γενέσθαι· τούτων γὰρ εἰσηγη-*
C *σαμένων τὰ περὶ τὰς Γυμνοπαιδίας τὰς ἐν Λακεδαίμονι
λέγεται κατασταθῆναι, ⟨καὶ⟩ τὰ περὶ τὰς Ἀποδείξεις τὰς
ἐν Ἀρκαδίᾳ, τῶν τε ἐν Ἄργει τὰ Ἐνδυμάτια καλούμενα.
ἦσαν δ᾿ οἱ μὲν περὶ Θαλήταν τε καὶ Ξενόδαμον καὶ Ξενό-
κριτον ποιηταὶ παιάνων, οἱ δὲ περὶ Πολύμνηστον τῶν Ὀρ-
θίων καλουμένων, οἱ δὲ περὶ Σακάδαν ἐλεγείων. ἄλλοι δὲ
Ξενόδαμον ὑπορχημάτων ποιητὴν γεγονέναι φασὶ καὶ οὐ
παιάνων, καθάπερ Πρατίνας* (fr. 7 Bgk.)· *καὶ αὐτοῦ δὲ
τοῦ Ξενοδάμου ἀπομνημονεύεται ᾆσμα ὅ ἐστι φανερῶς
ὑπόρχημα. κέχρηται δὲ τῷ γένει τῆς ποιήσεως ταύτης*
D *καὶ Πίνδαρος. ὁ δὲ παιὰν ὅτι διαφορὰν ἔχει πρὸς τὰ ὑπορ-
χήματα, τὰ Πινδάρου ποιήματα δηλώσει· γέγραφε γὰρ
καὶ παιᾶνας καὶ ὑπορχήματα.*

**10.** *Καὶ Πολύμνηστος δ᾿ αὐλῳδικοὺς νόμους ἐποίη-
σεν· εἰ δὲ τῷ Ὀρθίῳ νόμῳ ⟨ἐν⟩ τῇ μελοποιίᾳ κέχρηται,*